ἀκριβῶς ὁ Νικόμαχος παραδίδωσιν. ὕλη δέ ἐστι τὸ πλῆθος τῶν μονάδων, οἷον ὁ πολλαπλασιασμός, ὅ ἐστι τετράκι δ΄ καὶ πεντάκι ε΄ καὶ τὰ τοιαῦτα, καὶ οὐ μόνον τοῦτο. οὕτως γὰρ ἂν εὐεπίβατος ἦν πᾶσιν, εἴ γε καὶ οἱ μικροὶ παῖδες ἴσασι τοὺς πολλαπλασιασμούς, ἀλλὰ καὶ γλαφυρά τινα διδάσκει, ὡς ἐπὶ τῶν ἀνδριάντων, ἐν οἷς ἐπεγέγραπτο· ἔχω τὸν ἐξῆς καὶ τὸ τοῦ τρίτου τρίτον, καὶ ἐπὶ τοῦ δευτέρου, κἀγὼ τὸν ἐξῆς καὶ τὸ τοῦ πρώτου τρίτον, καὶ ἐπὶ τοῦ τρίτου, ὀκτὼ δ' ἐγὼ μνᾶς καὶ τὸ τοῦ μέσου τρίτον· καὶ ἐπὶ τῶν κρουνῶν τοῦ λέοντος τῶν εἰς τὴν δεξαμένην ἐμβαλλόντων καὶ περὶ ἄλλων μεθόδων. ὁ τοίνυν Σωκράτης φησὶν οὐ πρὸς ἀδοξίαν τοῦ ῥήτορος ὁρῶν εἰς ἑαυτὸν ἀναφέρει τὸν λόγον, ὃν εἶπεν ὁ Γοργίας, καὶ φησίν, ὅτι εἰ ἠρώτησέ με τις, περὶ τί καταγίνεται ἡ διαλεκτική, εἶχον εἰπεῖν περὶ λόγους· εἰ δὲ εἶπεν περὶ ποίους, ἔλεγον ἂν ὡσαύτως καὶ ἐπὶ ἰατρικῆς καὶ τῶν ἄλλων, ὡσαύτως οὖν καὶ σὺ εἰπὲ περὶ ποίους λόγους καταγίνεται ἡ ῥητορική.

### p. 450d. χειρούργημα.

9 οἱ περὶ τὰς λέξεις δεινοὶ λαμβάνονται τῶν δύο λέξεων τοῦ τε χειρουργήματος καὶ τῆς κυρώσεως ὡς μὴ λεγομένων· κατὰ ἀλήθειαν γὰρ οὐδὲ λέγονται. φαμὲν οὖν· ὅτι ἐπειδὴ Γοργίας ὁ λέγων, ὡς ἀπ' ἐκείνου προφέρει τὰς λέξεις ἐγχωρίους οὔσας· Λεοντῖνος γὰρ ἦν. οὕτω καὶ ἐν τῷ Φαίδωνι τὸν Κέβητα ἐγχωρίῳ γλώττῃ κεχρημένον εἰσφέρει· λέγει γοῦν ἴττω Ζεύς.

---

1 Nicomachi intr. arith. I 8 sqq. cf. Eucl. Elem. VII defin. 8 Theon. Smyrn. p. 25, 5 (Hiller) Iambl. in Nicom. p. 20. 7 (Pistelli) Philop. in Nicom. p. 14 sqq. (Hoche) 5 cf. Anth. Pal. XIV 51 Diophant. II 53 (Tannery) 23 Plat. Phaed. 62a cf. Olympiod. in Plat. Phaed. **A I 20**

---

6 mg. ἀνδριάντες σταθμοί
πρῶτος λς΄
δεύτερος λ΄
τρίτος ιη΄

20 mg. ση. ὅτι τὸ χειρούργημα καὶ ἡ κύρωσις οὐκ εἴρηται
23 mg. ση. τὴν ἴττω λέξιν βοιωτίαν οὖσαν